# ΤΟ ΑΘΗΝΗΣΙΝ
# ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ

## ΨΗΦΙΣΜΑ

### ΤΗΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ

ΤΥΧΗ ΑΓΑΘΗ

Πρυτανεύοντος τοῦ Ἀθήνησι Πανεπιστημίου Ἀποστόλου Δασκαλάκη, κοσμητεύοντος δὲ τῆς τῶν Φιλοσόφων Σχολῆς Σπυρίδωνος Καλλιάφα, ἔδοξεν ὁμοθύμως τῇ τῶν Φιλοσόφων Σχολῇ:

Ἐπειδήπερ

## ΠΑΥΛΟΣ

Ο ΤΩΝ ΕΛΛΗΝΩΝ ΒΑΣΙΛΕΥΣ
ΤΟΥ ΔΕ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΠΡΟΣΤΑΤΗΣ ΚΑΙ ΚΗΔΕΜΩΝ

θεοφιλῶς τε καὶ φιλανθρώπως ἀνάσσων, ἐν παντὶ τοῦ ἀρχαίου Ἑλληνικοῦ πνεύματος ἐμπεφορημένος φαίνεται, τόν τε βίον διάγων καὶ τὴν ἐξουσίαν ἀσκῶν κατὰ τὰ τοῖς Ἕλλησιν δοκοῦντα, καὶ τούτοις, ὥς περ Ἕλληνι Βασιλεῖ πρέπει, πιστῶς τε καὶ προφρόνως ἑπόμενος νόμος ἔμψυχός ἐστιν, εὐνομίαν μὲν καὶ ὁμόνοιαν μηχανώμενος, ἀνομίαν δὲ καὶ στάσιν ἀπείργων, ζηλωτὴς δὲ τοῦ Θεοῦ καὶ τῶν ἀρχομένων πατὴρ ὤν, ὥσπερ Ἐκεῖνος, ἔτι δὲ καθ' ἃ τῷ φιλοσόφῳ τῷ ἀρχαίῳ δέδοκται, ἀληθῶς δημοκρατίαν ἐκ μοναρχίας τοῖς πολίταις κατεσκεύασεν καὶ ἀτρόποις τοῖς τῆς πολιτείας νόμοις χρῆται, ἁπλῶς δὲ τῷ ῥήτορι τῷ παλαιῷ στοιχῶν, δημοτικὸς μὲν τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ τῇ τῆς πολιτείας διοικήσει, στρατηγικὸς δὲ τῇ πρὸς τοὺς κινδύνους εὐβουλίᾳ διατελεῖ, βασιλεὺς δ' ἀγαθὸς ὤν, ἐπεὶ καὶ ἀνὴρ ἀγαθός ἐστιν, καὶ φιλόσοφός ἐστιν, εἴγε τὸ φιλοσοφεῖν καλοκαγαθίας ἐστὶν ἐπιτήδευσις, τούτοις δὲ πᾶσιν τῆς Ἑλλάδος μὲν προστάτης ἱκανώτατος καὶ ἄρχων ἀξιώτατος ἀναδέδεικται, τῇ δ' Οἰκουμένῃ, ἄρτι κηρύξας τοῖς πέρα τοῦ Ἀτλαντικοῦ οἰκοῦσι, πολλοῦ τοῦ πνεύματος τοῦ Ἑλληνικοῦ μεταδοὺς τυγχάνει, ὥστ' αὐτὸν μὲν κλήτορ' ἀγαθὸν καὶ σαλπιγκτῆρα τανύφθογγον τιμᾶσθαι καὶ βασιλέα ἐχέφρονα καὶ εὐγενῆ καὶ ἀριστοπόνον κεκλῆσθαι, τὴν δ' Ἑλλάδ' ἐκ τούτου πλεῖστ' ὠφελῆσθαι, ἐπὶ πᾶσιν δὲ τούτοις καὶ ἐπὶ τὸ τὴν παιδείαν τὴν Ἐθνικὴν προαγαγεῖν θυμῷ ἐνθέῳ ὥρμηται, δεδόχθαι τῇ τῶν Φιλοσόφων Σχολῇ ἀπὸ δόγματος ὁμοθύμου

**ΠΑΥΛΟΝ** ΤΟΝ ΒΑΣΙΛΕΑ

ἐπαινέσαι τε καὶ τῆς φιλοσοφίας διδάκτορα ἐπίτιμον ἀναδεῖξαι, τὸ δὲ ψήφισμα τόδε ἐν μεμβράνῃ ἀναγράψαι καὶ τὸν Κοσμήτορα, τοῦ καθηγητοῦ Ἐρρίκου Σκάσση ἀνειπόντος, ἐν τῇ αἰθούσῃ τῇ μεγάλῃ ἀναγνόντα ἐπιδοῦναι Αὐτῷ, ᾗ ἂν ἡμέρᾳ καὶ ἡ ἀναγόρευσις γένηται, καθ' ἃ νενόμισται.

Ἐγένετο Ἀθήνησι μηνὸς Ἀνθεστηριῶνος πρώτῃ ἐπὶ δέκα, ἔτους τετάρτου καὶ πεντηκοστοῦ καὶ ἐνακοσιοστοῦ καὶ χιλιοστοῦ.

Ο ΚΟΣΜΗΤΩΡ

ΣΠΥΡΙΔΩΝ ΚΑΛΛΙΑΦΑΣ